τοὺς θησαυροὺς ἀποκρύφους· ὁ τὴν δια-
κονίαν τῆς λειτουργίας ταύτης ἀπο-
καλύψας ἡμῖν· ὁ θεὸς ὁ θέμενος ἡμᾶς τοὺς
ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου
φιλανθρωπίαν· εἰς τὸ προσφέρειν δῶρά
τε καὶ θυσίας ὑπὲρ τῶν ἰδίων ἁμαρτη-
μάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων·
αὐτὸς ἀόρατε βασιλεῦ ὁ ποιῶν μεγάλα
καὶ ἀνεξιχνίαστα· ἔνδοξά τε καὶ ἐξαίσια
ὧν οὐκ ἔστιν ἀριθμός· ἔπιδε ἐφ' ἡμᾶς
τοὺς ἀναξίους δούλους σου· τοὺς τῷ ἁγί-
ῳ σου τούτῳ θυσιαστηρίῳ, ὡς τῷ χερου-
βικῷ σου παρισταμένους θρόνῳ· ἐφ' ᾧ ὁ
μονογενής σου υἱὸς καὶ θεὸς ἡμῶν διὰ τῶν
προκειμένων φρικτῶν ἐπαναπαύεται
μυστηρίων· καὶ πάσης ἡμᾶς καὶ τὸν
πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρ-
σίας, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώ-
ματα· ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα ἐν
καθαρῷ συνειδότι· ἀνεπαισχύντῳ προ-

http://digital.slub-dresden.de/ppn345703170/745